# ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ

## ΚΑΘΟΜΟΛΟΓΗΣΙΣ

### ΤΟΥ ΠΤΥΧΙΟΥΧΟΥ ΤΗΣ ΝΟΜΙΚΗΣ

Στεφάνου Ἀθ. Κοτσιάνου

Τοῦ πτυχίου τῆς Νομικῆς ἀξιωθεὶς ὅρκον ὀμνύω πρὸ τοῦ Πρυτάνεως καὶ τοῦ Κοσμήτορος τῆς Νομικῆς Σχολῆς καὶ πίστιν καθομολογῶ τήνδε. Ἀπὸ τοῦ ἱεροῦ περιβόλου τοῦ σεπτοῦ τούτου τεμένους τῶν Μουσῶν ἐξερχόμενος κατ᾽ ἐπιστήμην βιώσομαι, ἀσκῶν ταύτην δίκην θρησκείας ἐν πνεύματι καὶ ἀληθείᾳ. Οὕτω χρήσιμον ἐμαυτὸν καταστήσω πρὸς ἅπαντας τοὺς δεομένους τῆς ἐμῆς ἀρωγῆς καὶ ἐν πάσῃ ἀνθρώπων κοινωνίᾳ ἀεὶ πρὸς εἰρήνην καὶ χρηστότητα ἠθῶν συντελέσω βαίνων ἐν εὐθείᾳ τοῦ βίου ὁδῷ, πρὸς τὴν ἀλήθειαν καὶ τὸ δίκαιον ἀποβλέπων καὶ τὸν βίον ἀνυψῶν εἰς τύπον ἀρετῆς ὑπὸ τὴν σκέπην τῆς Σοφίας. Ταύτην τὴν ἐπαγγελίαν ἐπιτελοῦντι εἴη μοι σὺν τῇ εὐλογίᾳ τῶν ἐμῶν καθηγητῶν καὶ πεφιλημένων διδασκάλων ὁ Θεὸς βοηθὸς ἐν τῷ βίῳ.

Ἀθήνησι, μηνὸς Μαΐου 5 ἔτει ,ΑϠΚϚ

Ο ΠΡΥΤΑΝΙΣ

Ο ΚΟΣΜΗΤΩΡ

Ο ΓΡΑΜΜΑΤΕΥΣ